Αλ. Ην μὴ 'κφάγης, ἐγὼ δέ σ' ἢν μή γ' ἐκπίω, A
Κἀπεκροφήσας, αὐτὸς ἐπιδιαρραγῶ.
Κλ. Απολῶ σε, νὴ τὴν προεδρίαν τὴν ἐκ Πύλου.
Αλ. Ιδοὺ προεδρίαν. οἷον ὄψομαί σ' ἐγὼ,
Εκ τῆς προεδρίας ἔσχατον θεώμενον.
Κλ. Εν τῷ ξύλῳ δήσω σε, νὴ τὸν οὐρανόν.
Αλ. Ως ὀξύθυμος. φέρε τί σοι δῶ καταφαγεῖν;
Επὶ τῷ φάγοις ἥδιστ' ἄν; ἐπὶ βαλλαντίῳ; B
Κλ. Εξαρπάσομαί σου τοῖς ὄνυξι τἄντερα.
Αλ. Απονυχιῶ σου τἀν Πρυτανείῳ σιτία.
Κλ. Ελξω σε πρὸς τὸν δῆμον, ἵνα δῷς μοι δίκην.
Αλ. Κἀγὼ δέ σ' ἕλξω, καὶ διαβαλῶ πλείονα.
Κλ. Αλλ' ὦ πόνηρε, σοὶ μὲν οὐδὲν πείθεται.
Εγὼ δ' ἐκείνου καταγελῶ γ', ὅσον θέλω. C
Αλ. Ως σφόδρα σὺ τὸν δῆμον σεαυτοῦ νενόμικας;
Κλ. Επίσταμαι γὰρ αὐτὸν, οἷς ψωμίζεται.
Αλ. Καθάπερ αἱ τίτθαι γε σιτίζεις κακῶς.
Μασώμενος γὰρ, τῷ μὲν ὀλίγον ἐντιθεὶς,
Αὐτὸς δ' ἐκείνου τριπλάσιον κατέσπακας.
Κλ. Καὶ νὴ Δί' ὑπό γε δεξιότητος τῆς ἐμῆς, D
Δύναμαι ποιεῖν τὸν δῆμον εὐρὺν καὶ στενόν.
Αλ. Χὠ πρωκτὸς οὑμὸς, τουτὶ σοφίζεται.
Κλ. Οὐκ ὦ 'γάθ' ἐν βουλῇ με δόξεις καθυβρίσαι.
Ιωμεν εἰς τὸν δῆμον. Αλ. οὐδὲν κωλύει.
Ιδοὺ βάδιζε, μηδὲν ἡμᾶς ἰσχέτω. E

*Ag. At nisi tu me exedas, ego verò te ebibam,*
*Exorbeámque: medius disrumpar. Cl. ego te,*
*Per primum accubitum meum è Pylo, perdam ilicet.*
*Ag. Ecce autem primum accubitum: ô quem te ego mox virum*
*Ex primo accubitu conspiciam imo subsellio?*
*Cl. Palo alligabo te, per cœlum & cœlites.*
*Ag. Quàm præceps animi. age, quid dem comedendum tibi,*
*Quod oblectet te maximè? vtrum marsupium?*
*Cl. Eripiam tibi ego intestina meis vnguibus.*
*Ag. Ego vnguibus euellam in Prytaneo tibi cibum.*
*Cl. Ad populum te traham, vt pœnam des mihi.*
*Ag. Traham & ego te: & calumniabor pluribus.*
*Cl. At tibi nebuloni nemo hominum adhibet fidem.*
*Ego verò ludos populum faciam, prout volo.*
*Ag. Quàm pulcrè tu populum tuum esse iudicas?*
*Cl. Quippe ego noui, quibus inescetur ferculis.*
*Ag. Nutricum more tu populum pascis malè:*
*Quia vbi præmanderis, in os paullum ipsi ingeris,*
*Tu verò triplo plus, quàm alumnus deuoras.*
*Cl. Ego, per Iouem, mea possum sollertia*
*Populum angustum latumq́; iuxtà reddere.*
*Ag. Meus hoc idem anus pernouit optimè.*
*Cl. Non tu in senatu iam videberis mihi*
*Illudere. Eamus ad populum. Ag. nihil moror,*
*Perge modò. nam nihil impedimenti obuiã est.*

Σχόλια. Εκπίω.] ἑξῆς πρὸς τὸ ὑπ' ἐκείνου ῥηθὲν ἀποκρίνεται. τῷ ἐκφαγεῖν ἀντιτιθεὶς τὸ ἐκπιεῖν. ὡς γὰρ ἡ Δημήτηρ τὰς τροφὰς, οὕτως, καὶ Διόνυσος Ικαρίῳ φιλοξενίας ἔδωκε δῶρον, ὅτι φιλοφρόνως αὐτὸν ὑπεδέξατο, τὴν ὕβριν φεύγοντα τοῦ Πένθεως. Κἀπεκροφήσας.] πλέον τι προσέθηκεν ὑπερβολῇ τῆς ἀπειλῆς. τῷ ἐκπίω ἐπενεγκὼν τὸ ἐκροφήσας. Οἷον ὄψομαί σ' ἐγώ.] ἀντὶ τοῦ οἵως. Ομηρος, οἷ ἀναΐξας ἄφαρ οἴχεται. ἀντὶ τοῦ οἵως. ὁ δὲ νοῦς. οἷ ὄψομαί σε ἀπὸ τῆς τιμῆς ἄτιμον γινόμενον. ἀπειλεῖ δὲ αὐτῷ, ὡς ἀφαιρησόμενος αὐτὸν τὴν προεδρίαν. τοῦτο δὲ, ὡς ἀεὶ τοῦ Κλέωνος θρυλλοῦντος τὰ περὶ Πύλον καὶ Σφακτηρίαν, καὶ τοὺς αἰχμαλώτους. Επὶ τῷ φάγοις ἂν ἥδιστα.] ἀντὶ τοῦ εἰπεῖν ἐπ' ἰχθύσι φάγοις ἂν οἷ μετὰ ἰχθύων. ἢ ἀντὶ τοῦ εἰπεῖν ἐπὶ τραπεζίῳ, πικρῶς εἶπεν ἐπὶ βαλλαντίῳ. ἵνα διαβάλῃ ὡς κλέπτην καὶ τῶν δημοσίων ἅρπαγα. ἐν τῷ ξύλῳ δὲ ἐν τῇ ποδοκάκῃ ὡς εἴρηται. Εξαρπάσομαί σου.] ἐξοίσω. διασπαράξω τοῖς ὄνυξιν. ἀπὸ τοῦ χρησμοῦ δὲ ἔπαιξε. βυρσαίετον γὰρ ἐκεῖ προσεῖπε τὸν Κλέωνα. ὁ δὲ ἀετὸς, τοῖς ὄνυξιν ἐστὶν ἄλκιμος. Απονυχιῶ σου.] πάλιν ὡς πρὸς τὸ μαγειρεῖον ἀπέσκωψε. διασπαράξας γάρ φησιν, ἐξελῶ σου τὰ ἔντερα. Τἀν Πρυτανείῳ σιτία.] ἀφαιρήσομαί σου φησὶ τὴν σίτησιν. ἀποφράξω. ἀποκλείσω. ἀπὸ μεταφορᾶς τῶν ὀνυχιζομένων. Ελξω σε πρὸς τὸν δῆμον.] ἡττήθη γὰρ ἐν τῇ βουλῇ. παρεπιγραφὴ δέ. ποιεῖ γὰρ ὅπερ εἴρηκεν καὶ ἅμα τῷ λόγῳ εἷλκεν αὐτόν. Καὶ διαβαλῶ γε.] ἔφαμεν πολλάκις ὅτι τῷ διαβάλλειν μάλιστα ἴσχυεν ὁ Κλέων. εἰπὼν δὲ ὅτι σοῦ πλείονα διαβαλῶ, τὸ κἀκεῖνον, εἰ καὶ ἧττον, ὅμως γοῦν διαβάλλειν ἐνεδείξατο. Καταγελῶ γ' ὅσον θέλω.] πᾶσαν ἔχω τοῦ πείθειν ἐξουσίαν, καὶ ὥσπερ ἐντρυφῶ τῷ δήμῳ. Σεαυτοῦ νενόμικας.] οἰκείως ἔχειν πρὸς σὲ ὑπολαμβάνεις. Οἷς ψωμίζεται.] οἷς ἀπατᾶται. οἷς χαίρει. τὸ δὲ ψωμίζεσθαι ἐπὶ τῶν μικρῶν παιδίων λέγεται, ἃ ὑπόκειται τῇ τῶν διδόντων ἐξουσίᾳ. Καθάπερ αἱ τίτθαι.] τίτθας καλοῦμεν τὰς τιτθίοις καὶ τῷ γάλακτι τρεφούσας τὰ παιδία. ἔγγυθεν οὖν ἀπὸ τοῦ ψωμίζειν ἀπεκρίνατο λέγων, ὅτι κατὰ τὰς τίτθας καὶ σὺ τὸν δῆμον κακῶς τρέφεις. τίτθας οὖν τὰς τροφούς. τὰς μάμμας. ὡς τὸ, ὅσα δὲ ἀργίᾳ μεμάρανται καὶ ῥαθυμίᾳ διέφθαρται μειράκια, ταῖς τίτθαις ἀπομύττειν καὶ ταῖς γυναιξὶ λέγειν ἀποπέμψατε, καὶ θρυπτόμενα περὶ ταύτας, στωμύλλεσθαι καὶ λαλεῖν περὶ κρόκης καὶ στημόνων ἐάσωμεν.

Bisetvs. Αἱ τίτθαι] Εὐστάθιος. τίτθη βαρυτόνως, ἡ τιτθὴ ὀξυτόνως ἡ τοὺς τιτθοὺς, ἤγουν μαστοὺς παρέχουσα τοῖς βρέφεσι. καὶ τιτθὸς, καὶ τιτθίον ἐκ τοῦ θῶ. τὸ θηλάζω λέγονται ἢ ἀπὸ τοῦ τιθῶ, ὅ ἐστι τίθημι, διὰ τὸ ἐντίθεσθαι τοῖς τῶν βρεφῶν στόμασι τοὺς μαστούς.

Σχόλια.